(Ϲω.) ὦ πολυτίμητοι θεοί,
οἷϲ ἀποτρέπειϲ νυνὶ γὰρ ὡϲ οἴει με ϲύ,
τούτοιϲ παρώξυμμ' εἰϲ τὸ πρᾶγμα διπλαϲίωϲ.
εἰ μὴ γὰρ ἐν γυναιξίν ἐϲτιν ἡ κόρη
τεθραμμένη μηδ' οἶδε τῶν ἐν τῶι βίωι
τούτων κακῶν μηδὲν ὑπὸ τηθίδοϲ τινὸϲ
δειδιϲαμένη μαίαϲ τ', ἐλευθερίωϲ δέ πωϲ
μετὰ πατρὸϲ ἀγρίου μιϲοπονήρου τῶι τρόπωι,
πῶϲ οὐκ ἐπιτυχεῖν ἐϲτι ταύτηϲ μακάριον;
ἀλλ' ἡ δίκελλ' ἄγει τάλαντα τέτταρα
αὕτη· προαπολεῖ μ'. οὐ μαλακιϲτέον δ' ὅμωϲ,
ἐπείπερ ἦργμαι καταπονεῖν τὸ πρᾶγμ' ἅπαξ.

ϹΙΚΩΝ

τουτὶ τὸ πρόβατόν ἐϲτιν οὐ τὸ τυχὸν καλόν.
ἄπαγ' εἰϲ τὸ βάραθρον. ἂν μὲν αἰρόμενοϲ φέρω
μετέωρον, ἔχεται τῶι ϲτόματι θαλλοῦ, κράδηϲ
κατεϲθίει τὰ θρῖ', ἀποϲπᾶι δ' εἰϲ βίαν.
ἐὰν δ' ἀφῆι χαμαί τιϲ, οὐ προέρχεται.
τοὐναντίον δὴ γέγονε· κατακέκομμ' ἐγὼ
ὁ μάγειροϲ ὑπὸ τούτου νεωλκῶν τὴν ὁδόν.
ἀλλ' ἐϲτὶν εὐτυχῶϲ τὸ νυμφαῖον τοδ[ὶ
οὗ θύϲομεν. τὸν Πᾶνα χαίρειν. παῖ Γέτα,
τοϲοῦτ' ἀπολείπηι;
(ΓΕΤΑϹ) τεττάρων γὰρ φορτίον
ὄνων ϲυνέδηϲαν αἱ κάκιϲτ' ἀπολούμεναι
φέρειν γυναῖκέϲ μοι.
(Ϲι.) πολύϲ τιϲ ἔρχεται